Fragments on Aretē by Libanius of Antioch

54 συνουσίαν ἐς τὴν ὑστεραίαν ἐπήγγειλε

55 κινδυνεύων αὐτὸς οὐ τοιούτους κινδύνους, ἀλλ᾽ ἐν οἷς καὶ παθεῖν τι καλόν ἐστι.

56 ἐκπέφαγκε

57a *Ἅισμα γαμήλιον Ἡρκουλιανῷ.*

57b *Ἅισμα εἰς Ἀσκληπιόν ...*

58 ἀγωνίζομαι

59 λιπαρεῖν

60 μέμφομαι

61 διδοίη. δοίη

62 πεπαρῴνηκε

63 τὰ μέγιστα καὶ τιμιώτατα τὰ μὲν ἤδη παραιρούμενος, τὰ δὲ μέλλων

64 ἐπεὶ δὲ εἰς, τὰ τῶν γερόντων διεπράττετο

65 διεχειρίσατο ἑαυτόν

66 ἀλλ᾽ εἰ μὲν ἦν τὸ σῶμα κοινὸν τῆς Ἑλλάδος, ἡδέως ἂν αὐτὸ τῇ βακτηρίᾳ παίων ἐσωφρόνισα· τούτου δ᾽ οὐκ ὄντος ἐν δυνατῷ τὸ μὲν δι᾽ ἔργων ἀδικεῖν οὐκ ἔχω, τὸ λοιπὸν δ᾽ ἴσως τὸ διὰ τῶν λόγων ὑμῖν ὀνειδίζοντα δόξαι λελυπηκέναι.

67 Εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη μετελθὼν ὁ ἐπὶ τῇ φιάλῃ ἔμπορος

68 ἀεὶ τὸν προσήκοντα βασκαίνουσι

69 ἐχρῆν αὐτὸ τοῦτο ἀνακοινοῦν τῷ δήμῳ

70 ὡς δ᾽ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ διάβροχος ἦν πάνυ, τί μέλλομεν; ἔφη

71 οὕτω δὴ κάλλους ἔχων

72 οἷον ἐγὼ ἔναγχος ἔπαθον παγκάλην τινὰ ἰδών

73 διῆγε μὲν οὖν ὁ βασιλεὺς ἐπὶ τοὺς Πέρσας τὸ στράτευμα

74 καὶ περιῆγε πλανώμενος ἐν Ἀθήναις

75 κατῄει μὲν οὖν ὁ βασιλεὺς ἐφ᾽ ἑσπέραν

76 μηνύσας τῷ βασιλεῖ τὰ περὶ τὴν Ἀσίαν

77 καὶ Ἀλέξανδρον μὲν ἐν Ἴδῃ ἐξέθεντο

78 καὶ βασιλεὺς μὲν ἦν δυσχεραίνων τοῖς τῶν πόλεων στρατηγοῖς

79 πράττει δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πλείω σοφίζεται

80 γινόμενος τῶν ἀτάκτων

81 ἥσθη Φιλόστρατος ἐπὶ τῷ ξενισμῷ

82 ἀναστήσονται

84-85 Φώτιος
πολλὰ δὲ αὐτοῦ καὶ παντοδαπὰ συγγράμματα φέρεται.

84 ἢ περὶ ὧν ἥμαρτεν ἔξαρνος ἦν

85 *λόγος ὑπὲρ Παυσανίου·*
οὐκ ἐπιδικάσεσθε ταύτης τῆς πράξεως

88 Οἷς γὰρ ὁ βίος οὐκ ἐν ἡδονῇ, τούτοις οὐ βαρὺ τὸ τεθνάναι. Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν τῷ γενναίως ὑπομένειν τοὺς κινδύνους. Τὰ μὲν σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκεν. Περὶ πλούτου. Τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν ἀγάπησον. Ἀθάνατα φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀποδέχου δὲ μᾶλλον τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων ἐλπίσι σπουδαίαις ὑπερέχουσιν. Περὶ τὴν

αὐτάρκειαν σπεῦσον, ὥσπερ καὶ περὶ τὴν φιλαργυρίαν ἐσπούδασας, καὶ τότε ὁμολογήσεις σαυτὸν εἶναι μακάριον. Κολάζειν δεῖ ταῖς αὐταῖς ζημίαις τοὺς ψευδῶς τι κατά τινος λέγοντας, ὥσπερ τοὺς ἐξαμαρτόντας. Σοφοῦ καὶ παντὸς ἀνθρώπου πεῖραν ἐκ τῶν ἀποδείξεων δεῖ λαμβάνειν, ἢ ἐκ τῶν λόγων. Ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς. Συντόμως τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος διαλύεται ὡς ὁ σίδηρος ὑπὸ τοῦ ἰοῦ. Μὴ λέγε ἐκφυγὼν κίνδυνον, ὅτι πάλιν ἐκφεύξομαι· ὡς γὰρ πέφευγας, προσδόκα μὴ ἐκφυγεῖν. Τὸ σῶμα γηρᾷ, ἡ δὲ κακὴ φύσις οὐ γηρᾷ. Εἰ βούλει ἄλυπον βίον ζῆν, τὰ μέλλοντα συμβαίνειν ὡς ἤδη συμβεβηκότα λογίζου. Ἄλυπος ἴσθι μὴ τὴν ἀπάθειαν, ὡς τὰ ἄλογα ζῷα, μηδὲ τὴν ἀλογίαν, ὡς οἱ ἄφρονες, ἀλλ᾽ ὡς ἐνάρετος τὸν λόγον τῆς λύπης ἔχων παραμύθιον. Τοὺς μὲν ἄφρονας ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει. Δίκαιος ὢν τὸ θεῖον ἕξεις σύμμαχον. Ῥώμην μεγίστην καὶ πλοῦτον ἐγκράτειαν κτῆσαι. Ῥᾳδίως μὴ μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπὶ φίλοις ἢ τέκνοις ἤ τινι τῶν ἐφήμερον τὴν σωτηρίαν ἐχόντων· ἐπισφαλῆ γὰρ τὰ τοιαῦτα, τὸ δὲ ἐφ᾽ ἑαυτοῦ ὀχεῖσθαι τοῦ θεοῦ μόνου βέβαιον. Τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν οὔτε ἀφροσύνην ἀφαιρέονται. Φιλεῖν ἀκαίρως ἶσόν ἐστι τοῦ μισεῖν. Φίλον γνήσιον ἐν κακοῖς μὴ φοβοῦ. Ψευδόμενος οὐδεὶς λανθάνει χρονίσας. Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει. Ὡς μέγα τὸ μικρόν ἐστιν δοθὲν ἐν καιρῷ δέοντι. Ὥσπερ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν.

88a-d Ἀντώνιος Μέλισσα

Λιβανίου Ῥυπαρὸς ὑπάρχων οὐχ ἕξεις ἄριστον φίλον. Ἡδέως ἔχε πρὸς ἅπαντας, πλὴν χρῶ τοῖς βελτίστοις.
Πιστοῦ φίλου νόμιζε μηδὲν ἄξιον,
ὃν οὐ κρατὴρ ἔδειξε, καιροῦ δὲ ζάλη.
ὃς οὐ χαρίζετ᾽ ἢ μόνον τὸ συμφέρον.
Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ καὶ οὐ φοβηθήσῃ αὐτὸν ἐχθρὸν γενόμενον.

89 Ἀνθολογία Ἑλληνική

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάρροον ἐνθάδε κεῖται,
ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής

90 *Ποίημα λεγόμενον λιβανίου τοῦ σοφιστοῦ ἦγουν ὁ προοιμιακὸς διὰ στίχων*
Εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην κτλ.

91 *περὶ ἰαμβικοῦ μέτρου*
Τὸ ἰαμβικὸν μέτρον ἐστὶ μὲν ἑξάμετρον—ἐφράσω τάδε κτλ.

92 Ἔκφρασις Λευκτρικοῦ ὑπόθεσιν ἔχουσα

93 *περὶ γενέσεως ἀνθρώπου καὶ ὅθεν τρίτα καὶ ἔννατα καὶ σαρακοστὰ τοῖς κεκοιμένοις*
Τὸ μὲν σπέρμα ἐν τῇ μήτρᾳ προσερχόμενον ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀλλοιοῦται εἰς αἷμα καὶ ὑποζωγραφεῖται ἡ καρδία— μετὰ μ′ ἡμέρας σαρκώδη καὶ ἀδιατύπωτα εὑρίσκεται.
